216 13. *Προφερομένου δέ τινος περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας οὐκ ἀγεννῆ μὲν δυσχερῆ δ' ἐπιτελεσθῆναι, 'προσδέονταί σου, ὦ ξένε,' ἔφη 'οἱ λόγοι δυνάμεως καὶ χρημάτων.'*

14. *Λέγοντος δέ τινος ὅτι Φίλιππος αὐτοῖς ἀνεπίβατον τὴν Ἑλλάδα ποιήσει, 'ἱκανὴ ἡμῖν' ἔφη, 'ὦ ξένε, ἡ ἐν τῇ ἰδίᾳ ἀναστροφή.'*

15. *Πρεσβευτὴς ἐκ Περίνθου παραγενόμενος εἰς Λακεδαίμον' ἐμακρολόγει· ὡς δ' ἐπαύσατο λέγων καὶ ἠρώτα τὸν Ἆγιν τί δεῖ τοῖς Περινθίοις ἀπαγγεῖλαι, 'τί δ' ἄλλ'' ἔφη 'ἢ ὅτι σὺ μὲν μόγις ἐπαύσω λέγων, ἐγὼ δὲ σιωπῶν;'*

16. *Πρεσβεύων δὲ μόνος ἧκε πρὸς Φίλιππον· εἰπόν-*
B *τος δ' ἐκείνου 'τί τοῦτο; μόνος ἥκεις;' ἔφη 'καὶ γὰρ πρὸς ἕνα.'*

17. *Φήσαντος δέ τινος τῶν πρεσβυτέρων πρὸς αὐτὸν γηραιὸν ὄντα, ἐπειδὴ τὰ ἀρχαῖα νόμιμα ἐκλυόμενα ἑώρα ἄλλα δὲ παρεισδυόμενα μοχθηρά, διὰ τί τὰ ἄνω κάτω* [ἤδη] *γίνεται ἐν τῇ Σπάρτῃ, παίζων εἶπε 'κατὰ λόγον οὕτω προβαίνει τὰ πράγματα, εἰ τοῦτο γίνεται· καὶ γὰρ ἐγὼ παῖς ὢν ἤκουον παρὰ τοῦ πατρός, ὅτι τὰ ἄνω κάτω γέγονε παρ' αὐτοῖς· ἔφη δὲ καὶ τὸν πατέρ' αὐτῷ παιδὶ ὄντι τοῦτ' εἰρηκέναι· ὥστ' οὐ χρὴ θαυμάζειν, εἰ χείρω τὰ μετὰ ταῦτα τῶν προτέρων, ἀλλ' εἴ που βελτίω καὶ παραπλήσια γένοιτο.'*